# Acts 1:12

Τότε ὑπέστρεψαν εἰς

Ἰερουσαλὴμ ἀπὸ ὄρους τοῦ

καλουμένου Ἐλαιῶνος, ὅ

ἐστιν ἐγγὺς Ἰερουσαλὴμ

σαββάτου ἔχον ὁδόν.

# Acts 1:13

καὶ ὅτε εἰσῆλθον, εἰς τὸ

ὑπερῷον ἀνέβησαν οὗ ἦσαν

καταμένοντες, ὅ τε Πέτρος καὶ

Ἰωάννης καὶ Ἰάκωβος καὶ

Ἀνδρέας, Φίλιππος καὶ

Θωμᾶς, Βαρθολομαῖος καὶ

Μαθθαῖος, Ἰάκωβος Ἁλφαίου

καὶ Σίμων ὁ ζηλωτὴς καὶ

Ἰούδας Ἰακώβου.

# Acts 1:14

οὗτοι πάντες ἦσαν

προσκαρτεροῦντες

ὁμοθυμαδὸν τῇ προσευχῇ σὺν

γυναιξὶν καὶ Μαριὰμ τῇ μητρὶ

τοῦ Ἰησοῦ καὶ ⸀σὺν τοῖς

ἀδελφοῖς αὐτοῦ.